igitur vnicuique ſe eſſe, ita quoque amicum eſſe expetendum eſt, vel ſimiliter: at eſſe ob id erat expetendum, quia ſe bonum eſſe ſentiebat: talis autem perſenſio ſuauis per ſe eſt: ſentire igitur ſimul, etiã amicum eſſe oportet. id autem fieri in conuiuendo, communicandíſque tum verbis, tum conſiliis poteſt: ita enim conuiuere de hominibus dici videtur. & non ſicut de pecudibus, in eodem loco paſci. Si igitur beato viro eſſe expetibile per ſe eſt, cùm bonum natura & iucundum ſit: ſimile autem amici quoque eſſe ipſum eſt: amicus etiam ex iis eſſet, quæ expetenda ſunt. at quod ipſi eſt expetendum, id ineſſe ipſi opus eſt, alioqui indigens hac parte erit: ei igitur qui fœlix futurus eſt, probis amicis opus erit.

CAPVT X.

SEd nunquid quamplurimi amici faciendi ſunt? An quemadmodum de hoſpitalitate cõſonè dictũ illud videtur,

Multorum neque ſis hominum, neque nullius hoſpes:

Sic in amicitia quoque conueniet, neque amicis prorſus carere, neque amicos ſupra modum multos ſibi conciliare. Illis ſanè qui ad vtilitatem ſpectant, valde etiam congruere id quod dictum eſt, videretur. multis enim viciſſim ſubminiſtrare laborioſum eſt: non éſtque ad id agendum ipſis victus ſufficiens. plures igitur quàm qui ad proprium victum conueniãt, admodum curioſi ſunt: tum ad bene viuendum impedimentum afferunt. nihil itaque ipſis opus eſt. Qui item voluptatis cauſa amant, pauci ſufficiunt: non ſecus atque in edulio condimentum. Probi autem amici vtrum plurimi numero eſſe debent. An amicorum quoque multitudinis, ſicút & ciuitatis modus quidam eſt: neque enim ex decem hominibus conſtare ciuitas poteſt: neque item ex decies decem millibus ciuitas exiſtit. Sed quantitas non eſt fortaſſe vna quædã, ſed omnis quæ inter definita quędam media eſt, amicorum igitur quoque multitudo definita quædam eſt & fortaſſe plurimi illi ſunt, quibus cum vitam traducere quiſpiam poſſet. id enim maximè ad amicitiam pertinere videbatur. Non poſſe autem cum multis viuere quempiã, multíſq. ſe impertire obſcurũ nõ eſt. Eſſe prętera illos quoq. inter ſeſe amicos oportet: ſi inter ſe omnes conuicturi ſint: id autem difficile in multis eſt. Difficile quoq. illud eſt, vt congaudeat quiſpiã & cõdoleat accõmodatè cũ multis. veriſimile enim eſt ſimul incidere poſſe, vt cum altero collætandum, cũ altero condolendũ ſit. Fortaſſe igitur rectè ſe habet,

A οὖν τὸ αὐτὸν εἶναι, αἱρετόν ἐστιν ἑκάστῳ, οὕτω καὶ τὸ τὸν φίλον, ἢ παραπλησίως. τὸ δ᾽ εἶναι ἦν αἱρετὸν διὰ τὸ αἰσθάνεσθαι αὐτοῦ ἀγαθοῦ ὄντος. ἡ δὲ τοιαύτη αἴσθησις ἡδεῖα καθ᾽ αὑτήν. συναισθάνεσθαι ἄρα δεῖ καὶ τοῦ φίλου ὅτι ἔστι. τοῦτο δὲ γένοιτ᾽ ἂν ἐν τῷ συζῆν, καὶ κοινονεῖν λόγων καὶ διανοίας. οὕτω γὰρ ἂν δόξειε τὸ συζῆν ἐπὶ τῶν ἀνθρώπων λέγεσθαι, καὶ οὐχ
B ὥσπερ ἐπὶ τῶν βοσκημάτων τὸ ἐν τῷ αὐτῷ νέμεσθαι. εἰ δὴ τῷ μακαρίῳ τὸ εἶναι αἱρετόν ἐστι καθ᾽ αὑτό, ἀγαθὸν τῇ φύσει ὂν καὶ ἡδύ· παραπλήσιον δὲ καὶ τὸ τοῦ φίλου ἐστί· καὶ ὁ φίλος, τῶν αἱρετῶν ἂν εἴη. ὃ δ᾽ ἐστὶν αὐτῷ αἱρετόν, τοῦτο δεῖ ὑπάρχειν αὐτῷ. ἢ ταύτῃ ἐνδεὴς ἔσται· δεήσει ἄρα τῷ εὐδαιμονήσοντι φίλου
C σπουδαίων. Κεφάλαιον ι.

ΑΡ᾽ οὖν ὡς πλείστοις φίλοις ποιητέον, ἢ καθάπερ ἐπὶ τῆς ξενίας ἐμμελῶς εἰρῆσθαι δοκεῖ, τό,

Μήτε πολύξεινος, μήτ᾽ ἄξεινος·

καὶ ἐπὶ τῆς φιλίας ἁρμόσει μήτ᾽ ἄφιλον εἶναι, μήτ᾽ αὖ πολύφιλον καθ᾽ ὑπερβολήν, τοῖς μὲν δὴ πρὸς χρῆσιν, καὶ πάνυ δόξειεν ἂν ἁρμόζειν
D τὸ λεχθέν· πολλοῖς γὰρ ἀνθυπηρετεῖν ἐπίπονον, καὶ οὐχ ἱκανὸς ὁ βίος αὐτοῖς τοῦτο πράττειν. οἱ πλείους δὴ τῶν πρὸς τὸν οἰκεῖον βίον ἱκανῶν περίεργοι καὶ ἐμπόδιοι πρὸς τὸ καλῶς ζῆν. οὐθὲν οὖν δεῖ αὐτῶν. καὶ οἱ πρὸς ἡδονὴν δὲ, ἀρκοῦσιν ὀλίγοι, καθάπερ ἐν τῇ τροφῇ τὸ ἥδυσμα. τῶν δὲ σπουδαίων, πότερον πλείστους κατ᾽ ἀριθμόν; ἢ ἔστι τι μέτρον καὶ φιλικοῦ πλήθους, ὥσπερ πόλεως; οὔτε γὰρ ἐκ δέκα
E ἀνθρώπων γένοιτ᾽ ἂν πόλις, οὔτε ἐκ δέκα μυριάδων ἔτι πόλις ἐστί· τὸ δὲ ποσὸν οὐκ ἔστιν ἴσως ἕν τι, ἀλλὰ πᾶν τὸ μεταξύ τινῶν ὡρισμένων. καὶ φίλων δή ἐστί τι πλῆθος ὡρισμένον. καὶ ἴσως οἱ πλεῖστοι, μεθ᾽ ὧν δύναιτό τις συζῆν· τοῦτο γὰρ ἐδόκει φιλικώτατον εἶναι. ὅτι δ᾽ οὐχ οἷόν τε πολλοῖς συζῆν καὶ διανέμειν αὑτόν, οὐκ ἄδηλον. ἔτι δὲ, κἀκείνους δεῖ ἀλλήλοις φίλους εἶναι, εἰ μέλλουσι πάντες μετ᾽ ἀλλήλων συνημε-
F ρεύειν. τοῦτο δ᾽ ἐργῶδες ἐν πολλοῖς ὑπάρχειν. χαλεπὸν δὲ γίνεται καὶ τὸ συγχαίρειν καὶ τὸ συναλγεῖν οἰκείως πολλοῖς· εἰκὸς γὰρ συμπίπτειν ἅμα, τῷ μὲν, συνήδεσθαι, τῷ δὲ, συνάχθεσθαι. ἴσως οὖν εὖ ἔχει, μὴ ζητεῖν